ἥξω δὲ πολλὴν Ἄρεος Ἀργείου λαβὼν
πάγχαλκον αἰχμὴν δεῦρο. μυρίοι δέ με
μένουσιν ἀσπιστῆρες, Εὐρυσθεύς τ' ἄναξ
αὐτὸς στρατηγῶν. Ἀλκάθου δ' ἐπ' ἐσχάτοις,
καραδοκῶν τἀνθένδε, τέρμασιν μένει.
λαμπρὸς δ', ἀκούσας σὴν ὕβριν, φανήσεται
σοὶ καὶ πολίταις, γῇ τε τῇδε καὶ φυτοῖς.
μάτην γὰρ ἥβην ὧδέ γ' ἂν κεκτήμεθα
πολλὴν ἐν Ἄργει, μή σε τιμωρούμενοι.

ΔΗ. Φθείρου. τὸ σὸν γὰρ Ἄργος οὐ δέδοικ' ἐγώ.
ἐνθένδε δ' οὐκ ἔμελλες, αἰσχύνας ἐμὲ,
ἄξειν βίᾳ τούσδ'. οὐ γὰρ Ἀργείων πόλιν
ὑπήκοον τήνδ', ἀλλ' ἐλευθέραν ἔχω.—

ΧΟ. Ὥρα προνοεῖν, πρὶν ὅροις πελάσαι
στρατὸν Ἀργείων. μάλα δ' ὀξὺς Ἄρης
ὁ Μυκηναίων.
ἐπὶ τοῖσι δὲ δὴ μᾶλλον ἔτ' ἢ πρίν.
πᾶσι γὰρ οὗτος κήρυξι νόμος,
δὶς τόσα πυργοῦν τῶν γιγνομένων.
πόσα νιν λέξειν βασιλεῦσι δοκεῖς;
ὡς δείν' ἔπαθεν, καὶ παρὰ μικρὸν
ψυχὴν ἦλθεν διακναῖσαι.—

ΙΟ. Οὐκ ἔστι τοῦδε παισὶ κάλλιον γέρας,
ἢ πατρὸς ἐσθλοῦ κἀγαθοῦ πεφυκέναι,
γαμεῖν τ' ἀπ' ἐσθλῶν. ὃς δὲ νικηθεὶς πόθῳ,
κακοῖς ἐκοινώνησεν, οὐκ ἐπαινέσω,
τέκνοις ὄνειδος οὕνεχ' ἡδονῆς λιπεῖν.

280. τέρμασιν μένειν.
283. κεκτώμεθα
287. Ἀργείων πόλει
294. τῶν γινομένων.
295. δοκεῖς,
297. ἦλθε